δὲ ἔστι καὶ ἰδιόμελον, λέγει εἰς τὸ Δόξα ὁ ἱερεύς· Σοφία, ὀρθοί, οἱ μοναχοὶ τὸ Φῶς ἱλαρόν. Καὶ εὐθὺς ὁ ταχθεὶς μοναχός, βαλὼν τὴν συνήθη μετάνοιαν τῷ καθηγουμένῳ, ψάλλει προκείμενον· Ὁ Κύριος ἐβασίλευσε, δίστιχον. Εἰ δὲ ἔστιν ἑορτὴ καὶ ἔχει προφητείας, λέγει αὐτάς. Μετὰ δὲ τὸ προκείμενον ὁ ἱερεύς· Εἴπωμεν πάντες, καὶ τὴν συνήθη ἐκτενήν, οἱ μοναχοὶ τὸ Καταξίωσον. Ὁ δὲ ἱερεύς· Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν καὶ τὰς λοιπὰς αἰτήσεις καὶ οὕτως ἐκφωνεῖ· Εἴη τὸ κράτος. Εἰρήνη πᾶσιν. Τὰς κεφαλὰς ἡμῶν, ἐκφώνησις· Εἴη τὸ κράτος. Καὶ ἀρχόμεθα στιχηρὰ τοῦ προφήτου εἰς τὸν κατὰ τὴν ἡμέραν ἦχον καὶ λιτανεύομεν μετὰ θυμιατοῦ καὶ λαμπάδος, τοῦ ἱερέως προπορευομένου. Μετὰ δὲ τὸ τέλος τοῦ στιχηροῦ ἐκφωνεῖ ὁ ἱερεὺς εἰς ἐπήκοον πάντων· Σῶσον, ὁ Θεός, τὸν λαόν σου (упоминаются пророки Моисей, Ааронъ и Елисей), Τὸ Κύριε ἐλέησον ν'. Εἶθ' οὕτως ἐκφωνεῖ ὁ ἱερεύς· Ἔτι δεόμεθα ὑπὲρ ἀφέσεως ἁμαρτιῶν τοῦ δούλου τοῦ Θεοῦ καὶ ἀρχιεπισκόπου ἡμῶν Συμεὼν и т. д. до конца прошенія; Κύριε ἐλέησον ν'. Μετὰ δὲ τοῦτο ἐκφωνεῖ· Ἐπάκουσον ἡμῶν ὁ Θεὸς ὁ Σωτὴρ ἡμῶν. Καὶ κλινόντων ἡμῶν τὸ γόνυ, ἐπεύχεται μεγαλοφώνως ὁ ἱερεύς· Δέσποτα πολυέλεε (упоминаются пророки Моисей, Ааронъ, Илія и Елисей и великомученица Екатерина). Ἀρχόμεθα στιχηρὰ ἀναστάσιμα τοῦ στίχου καὶ εἰσερχόμεθα ἐν τῷ ναῷ (καὶ) λέγομεν στίχον· Ἐξομολογήσομαί σοι, Κύριε, στίχον β'· Εὐφρανθήσομαι καὶ ἀγαλλιάσομαι, καὶ ψάλλομεν στιχηρὰ τοῦ ἀλφαβήτου. Καὶ εἴ μεν λάχῃ ἑορτὴ Δεσποτικὴ ἢ ἁγίου, Δόξα καὶ ψάλλομεν ἰδιόμελον, Καὶ νῦν θεοτοκίον πρὸς τὸν ἦχον ἐκ τῶν ἀνατολικῶν. Ψάλλομεν δὲ ταῦτα κοινῶς, εἶτα· Νῦν ἀπολύεις, Τρισάγιον, μετὰ δὲ τὸ Πάτερ ἡμῶν, ἐκφωνεῖ ὁ ἱερεύς· Ὅτι σοῦ ἐστιν ἡ βασιλεία. Οἱ ἀδελφοί· Θεοτόκε παρθένε. Τοῦτο ὀφείλομεν λέγειν γ'. Ὁ δὲ κανδηλάπτης προτίθησιν ἄρτους τρεῖς, ἐξ ὧν ἐσθίουσιν οἱ ἀδελφοὶ εἰς κανίσκιον ἐπάνω τῆς βιβλιοθήκης. Ὁ δὲ ἱερεύς, λαβὼν ἄρτον ἕνα ἐπὶ τὰς χεῖρας καὶ τυπώσας ἐν αὐτῷ σταυρόν, ἐπεύχεται· Κύριε Ἰησοῦ Χριστὲ ὁ Θεὸς ἡμῶν (тѣ же святые упоминаются). Καὶ μετὰ τὸ Ἀμήν, Εὐλογήσω τὸν Κύριον ἕως· Οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ. Καὶ ἀπελθὼν ὁ ἱερεὺς ἐνώπιον τῶν ἁγίων θυρῶν καὶ στραφεὶς ἐπεύχεται· Εὐλογία Κυρίου ἔλθῃ ἐφ' ἡμᾶς. Καὶ εὐθὺς τίθεται ἀνάγνωσις εἰς τὸν Πραξαπόστολον τὸ χῦμα. Ἰστέον δέ, ὅτι ἀπὸ τὸ Πάσχα μέχρι τῶν ἁγίων Πάντων εἰς τὴν αὐτὴν ἀνάγνωσιν αἱ Πράξεις ἀναγινώσκονται, εἰς δὲ τὰς λοιπὰς κυριακὰς τοῦ χρόνου αἱ ἑπτὰ καθολικαὶ καὶ αἱ ιδ' ἐπιστολαὶ